αὐτοκρατόρων Ἰωάννου καὶ Μανουὴλ τῶν Κομνηνῶν. Ὁ Γλυκᾶς συνέταξεν ἐννενήκοντα καὶ δύο ἐπιστολὰς ἑρμηνευτικὰς διαφόρων θεολογικῶν ζητημάτων, ἐν αἷς εἰσὶ καὶ αἱ ἑξῆς δύο, ἀνέκδοτοι ἔτι σωζόμεναι· 1) Τῷ τιμιωτάτῳ μοναχῷ Κυρίῳ Μαξίμῳ τῷ Σμενιώτῃ, εἰ χρὴ προσέχειν τοῖς λέγουσιν, ὅτι λαβὼν ὁ Χριστὸς ἄζυμον ἐν τῇ ἑσπέρᾳ τῆς μεγάλης πέμπτης, ὡς καὶ τῆς ἑορτῆς τηνικαῦτα δῆθεν ἑστηκυίας, τὸ οἰκεῖον πάσχα ἐπετέλεσε· 2) Τῷ αὐτῷ περὶ χρήσεών τινων, ὅτι ἐκ μόνου τοῦ Πατρός, οὐ μὴν καὶ ἐκ τοῦ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον ἐκπορεύεται, καὶ ὅτι οὐ ταυτὸν ἀποστολὴ καὶ ἐκπόρευσις. Ἀντίγραφον τούτων ἀπόκειται ἐν τῇ βιβλιοθήκῃ τῆς Μόσχας, τῆς Βιέννης, τῆς Βενετίας καὶ ἐν ἄλλαις. Ἐκ τῆς κατὰ ἀζύμων ἐπιστολῆς τοῦ Γλυκᾶ παραθέτομεν τὸ ἑξῆς ἀπόσπασμα. „Εἰ κατὰ τὴν ἑσπέραν, ὥς φασι, τῆς Πέμπτης ἐκείνης ἡ ἑορτὴ τοῦ νομικοῦ πάσχα συνέπιπτεν, εἶχον ἂν ἐξ ἀνάγκης οἴκαδε πάντες καθῆσθαι κατὰ τὴν τοῦ νόμου διάταξιν τὴν οὕτω λέγουσαν. Ὑμεῖς δὲ τὸ πάσχα θύοντες οὐκ ἐξελεύσεσθε ἕκαστος τὴν θύραν τοῦ οἴκου αὐτοῦ ἕως πρωΐ. Καὶ μὴν οἱ Ἰουδαῖοι κατ' ἐκείνην τὴν νύκτα τὰς οἰκίας ἀφέντες, κατὰ Χριστοῦ πάντες ἔτρεχον ἔνοπλοι· καὶ δὴ συλλαβόντες αὐτόν, τόπον ἐκ τόπου ἤμειβον, ποτὲ μὲν πρὸς Ἄνναν τὸν Κύριον δεδεμένον ἕλκοντες, ποτὲ δὲ πρὸς Καϊάφαν, κἀκεῖθεν ὁμοίως πρὸς τὸ πραιτώριον ἄγοντες· καὶ οὕτω ποιοῦντες πᾶσαν ἐκείνην τὴν νύκτα διήλθοσαν, καὶ ταῦτα παρὰ τοῦ νόμου τὸ πάσχα φαγεῖν ἀναμέσον τῶν ἑσπερινῶν βιαζόμενοι. Μὴ οὖν παροδευτικῶς τὴν Γραφὴν ἐπερχόμεθα, μηδὲ πρὸς ἴδιον αὐτὴν ἐκλαμβάνωμεν θέλημα. Εἰ γὰρ καὶ λέγουσί τινες ὅτι τῇ συνήθει μανίᾳ συνελαυνόμενοι οἱ Ἰουδαῖοι τοσοῦτον τοῦ νόμου κατωλιγώρησαν, ὡς καὶ τῶν ἑορτῶν αὐτῶν παριδεῖν τὸ κεφάλαιον, ἀλλ' οὐ διὰ τοῦτο πείθεσθαι ἄξιον. Ἦν γὰρ ἰδεῖν αὐτοὺς μὴ κατὰ μόνην τὴν ἑσπέραν τῆς Πέμπτης,